κατὰ πᾶσαν ἐπαρχίαν ἡγουμένων αὖθις δεινὰ καθ᾽ ἡμῶν ἐπαναστάσεως, ὡς καὶ τιμὰς ἀξιωθέντας τῶν περὶ τὰ θεῖα λόγων ἐπιφανῶν, ἀπαραίτητον τὴν ἐπὶ θανάτῳ ψῆφον καταδέξασθαι· ὧν τρεῖς ἐν Ἐμίσῃ τῇ πόλει τῆς Φοινίκης, χριστιανοὺς σφᾶς ὁμολογήσαντας, θηρσὶ βορὰν παραδίδοσθαι· ἐπίσκοπος ἦν ἐν τούτοις Σιλβανὸς, τὴν ἡλικίαν ὑπέργηρως, ἐν ὅλοις ἔτεσι τεσσαράκοντα τὴν λειτουργίαν διηνυκώς. Κατὰ δὲ τὸν αὐτὸν χρόνον καὶ Πέτρος τῶν κατ᾽ Ἀλεξάνδρειαν παροικιῶν προστὰς ἐπιφανέστατα, θεῖόν τι ἐπισκόπων χρῆμα βίου τε ἀρετῆς ἕνεκα καὶ τῆς τῶν ἱερῶν λόγων συνασκήσεως, ἐξ οὐδεμιᾶς ἀνάγκης αἰτίας, μηδεμιᾶς προλαβούσης προσδοκίας, ἀθρόως καὶ ἀλόγως ὡσὰν Μαξιμίνου προστάξαντος, τὴν κεφαλὴν ἀποτέμνεται· σὺν αὐτῷ δὲ καὶ τῶν κατ᾽ Αἴγυπτον ἐπισκόπων ἄλλοι πλείους ταὐτὸν ὑπομένουσι. Λουκιανός τε, ἀνὴρ τὰ πάντα ἄριστος, βίῳ τε ἐγκρατεῖ καὶ τοῖς ἱεροῖς μαθήμασι συγκεκροτημένος, τῆς κατ᾽ Ἀντιόχειαν παροικίας πρεσβύτερος, ἀχθεὶς ἐπὶ τῆς Νικομηδέων πόλεως, ἔνθα τηνικαῦτα βασιλεὺς διατρίβων ἐτύγχανε, παρασχών τε ἐπὶ τοῦ ἄρχοντος τὴν ὑπὲρ ἧς προΐστατο διδασκαλίας ἀπολογίαν, δεσμωτηρίῳ παραδοθεὶς κτίννυται. Τοσαῦτα δῆτα ἐν βραχεῖ τῷ μισοκάλῳ Μαξιμίνῳ καθ᾽ ἡμῶν συνεσκεύαστο, ὡς τοῦ πρὸ τοῦ πολὺ χαλεπώτερον τοῦτον ἡμῖν ἐπεγηγέρθαι διωγμόν.

ζ περὶ τῆς καθ᾽ ἡμῶν ἐν στήλαις ἀνατεθείσης γραφῆς

Μάλιστα γέ τοι ταῖς πόλεσιν, ὃ μηδὲ ἄλλοτέ ποτε, ψηφίσματα πόλεων καθ᾽ ἡμῶν καὶ βασιλικῶν πρὸς ταῦτα διατάξεων ἀντιγραφαὶ στήλαις ἐντετυπωμέναι χαλκαῖς ἀνωρθοῦντο, οἵ τε παῖδες ἀνὰ τὰ διδασκαλεῖα, Ἰησοῦν καὶ Πιλᾶτον καὶ τὰ ἐφ᾽ ὕβρει πλασθέντα ὑπομνήματα διὰ στόματος κατὰ πᾶσαν ἐφερον ἡμέραν. Ἐν ταῦθά μοι ἀναγκαιότατον εἶναι φαίνεται, αὐτὴν δὴ ταύτην τὴν ἐν στήλαις ἀνατεθεῖσαν τοῦ Μαξιμίνου γραφὴν ἐντάξαι, ἵν᾽ ὁμοῦ τῆς τε τοῦ ἀνδρὸς θεομισεῖ ἀλαζόνος καὶ ὑπερηφάνου αὐθάδεια φανερὰ καταστάιη, καὶ τῆς παρὰ πόδας αὐτὸν μετελθούσης ἱερᾶς δίκης ἡ ἄγρυπνος κατὰ τῶν ἀσεβῶν μισοπονηρία· πρὸς ἧς ἐλασθεὶς οὐκ εἰς μακρὸν τἀναντία περὶ ἡμῶν ἐβουλεύσατό τε καὶ διὰ ἐγγράφων νόμων ἐδογμάτισε. Τοῦτον δὲ πάντως ἐκ λέξεων ἔχουσα τὸν τρόπον·

Ἤδη ποτὲ ἡ ἀσθενὴς θρασύτης τῆς ἀνθρωπίνης διανοίας ἴσχυσε πᾶσαν